eul_wid: dhk-aa

*Τιμόθεος ὁ Μιλήσιος* · Timotheus of Miletus

# Dionysian and Mythological Fragments

*Ἀποσπάσματα*

**Period:** *Κλασική* Classical
**Dialect:** *Ἰωνική* Ionic
**Domain:** *Ἱστορία* History
**Format:** *Πεζός* Prose

2b θυιάδα φοιβάδα μαινάδα λυσσάδα Κύκλωψ ἔγχευε δ’ ἓν μὲν δέπας κίσσινον μελαίνας σταγόνος ἀμβρότας ἀφρῶι βρυάζον, εἴκοσιν δὲ μέτρ’ ἐνέχευ’, ἀνέμισγε δ’ αἷμα Βακχίου νεορρύτοισιν δακρύοισι Νυμφᾶν.

5 οὔτοι τόν γ’ ὑπεραμπέχοντ’ οὐρανὸν εἰσαναβήσει. Νιόβη ἀλλ’ ἐπεὶ ὁ Τιμοθέου Χάρων σχολάζειν οὐκ ἐᾶι, οὑκ τῆς Νιόβης, χωρεῖν δὲ πορθμίδ’ ἀναβοᾶι, καλεῖ δὲ μοῖρα νύχιος, ἧς κλύειν χρεών, .

10 .. ἔρχομαι· τί μ’ αὔεις; Πέρσαι κλεινὸν ἐλευθερίας τεύχων μέγαν Ἑλλάδι κόσμον, σέβεσθ’ αἰδῶ συνεργὸν ἀρετᾶς δοριμάχου.

14 Ἄρης τύραννος· χρυσὸν Ἑλλὰς οὐ δέδοικε. fr.

15,col1 4.3 νυμφα . [, ]ναιανπ[, 4 επ[ε]υκυκλ[, ] . ουροθωι[, 5 επ[ε]υθυφ[, ] . σκοπειν[, 6 συ[ν]δρομ[, 12 ]παλιμμ[, 13 ]μουσα[ fr. 3.3 ]στοιχο[, 11 ]πορο[, fr. 7.3 ]πιφοβα[, 4 ]εοξυ[ fr. 8.5 ] . ρουκοιλ[, 6 ]λινοιοδ .. [, 8 ]γυια, fr. 9.6 ] . ιαδιοπλ[, 9 ]ασειχον[ [ .

15,col2 . ] . [ .. ] . [ ...... ]αντ[ ]νων[ ] .. συν[εμ]βολο[ι]σι γειτ[ ... ]σ[ .. ]υ[ ......... ]αντιαι[ ....... ]πρι[ .. ]νε χαρα[ξ]ανπο . ιδεγε[ ... ]λογχο[ ....... ]αμφεθ[ε]ντοοδοντων στο . [ . ] . αιδ[ . ]κυρτοι[σι]κρασιν[ ....... [ ]μέναι [χε]ῖρας παρέσυρον ἐλα[τίνα]ς· ἀλλ’ εἰ μὲν [ἐ]νθένδε[ ...... ]ιστος ἐπ[ιφ]έροιτο πλαγὰ ῥηξι[ ... ]ος, πάντες [ .. ]ανέπι[πτον] ἐκεῖσε να[ῦ]ται· εἰ δ’ ἀντίτοιχος ἀκτ[ὰ ... ]ος ἄξειεμ [πο]λυκροτο[ .. ... ]σιμον πεύκας, πάλιν ἐφέροντο· αἱ δε[ .... ]αι . η γυῖα [δ]ιαφέρουσα[ι πλ]ευρὰς λι[νο]ζώστους ἔφαινον, τας . [ .... ] . [ ... ] ... [ .. ]ις σκηπτ[ .. ] ἐπεμβάλλ[ο]ντες ἀνε[χ]αίτιζον, αἱ δὲ πρα[νέες ...... ] . [ ... ]ας ἀπηγ 〈λ〉 αϊσμένα[ι] σιδα[ρ] 〈έ〉 ωι κράνει· ἴσος δὲ πυρὶ δαμ[ .... ] ἀγκυλένδετος μεθίετο χερσίν, ἐν δ’ ἔπιπτε γυίοις αἰθε[ ......... ] ὠμὰ διακραδαίνων· στερεοπαγῆ δ’ ἐφέρετο φόνια[ ......... ]α[ .. ] τά τε περίβολα πυρὶ φλεγ[όμ]εν’ ἐν ἀποτομάσι βουδό[ροισι· τῶν δὲ] βίοτος ἐθύετ’ ἀδιν[ὸ]ς ὑπὸ τανυπτέροισι χαλκόκρασι νευρε[ σμαραγδοχαίτας δὲ πόντος ἄλοκα ναΐοις ἐφοινίσσετο σταλά[γμασι ... ]αυπαι βοὰ δὲ [πα]μμι[γ]ὴς κατεῖχεν· ὁμοῦ δὲ νάϊος στρατὸς βάρβαρος ἀμμι[γ ..... ] αντεφερετ’ ἐ[π’ ἰχ]θυ[ο]στέφεσι μαρμαροπ[τύχ]ο[ι]ς κόλποισιν [Ἀμφιτρίτ]ας, ἔνθα τοι τ[ ....... ]πέδιος ἀνὴρ ἀμεροδρόμοιο χώρας ἄναξ [ ... .... ]μβρίαν α . ω[ ... ποσί τε χ]ερσίν τε παίω[ν ἔ]πλει νησίωτας [ ....... ]ς θεινόμε[νος .... δ]ιεξόδους μ[ατεύω]ν ἰσόρροπά τε παλευό[μενος [ ]ηλ[ ]ων καλεῖ θ[αλάσ]σιον θεὸν πάτερα τ[ .

Eulogikon public reading copy · View original HTML at eulogikon.org

15,col2 (50) ...... ] . νο[ ... ]φι[ ] . κεπ[ .. ] .. [ ............. ]λασσων . [ ....... ]σπ[ .. ]τε[ ] .. γαν[ .. ]ον[ ........... ]απερσαν ..... ] . εφασ[ .. ]ρ[ ]αντεκεκρατ[ .......... ]νινκελαι ... αμ]βλυδω[χ]ρον[ ]σκατεσσφρα[ ......... ] . στα ..... ]πεπα[ .. ]ολλ[ ]υτεκ .. τοσ[ ......... ]νωτου ..... ]εδιαπαλευων[ ]πουβασιμον[ ..... ]νδιοδον ..... ]εσμ[ο]ς[απ]ειροσ[ ]φιναοισ τρυ[ ..... ]λιχθεις [ ]υλα[ ]φον[ .. ]ευμα . [ ] ὅ]τε δὲ τᾶι λείποιεν αὖραι τᾶι δ' ἐπεισέπιπτον, ἀφρῶι δ' 〈ὕ'〉 ἀβακχίωτος ὄμβρος, εἰς δὲ τρόφιμον ἄγγος ἐχεῖτ'· ἐπεὶ δ' ἀμβόλιμος ἅλμα στόματος ὑπερέθυιεν, ὀξυπαραυδήτωι φωνᾶι παρακόπωι τε δόξαι φρενῶν κατακορὴς ἀπείλει γόμφοισ〈ιν〉 ἐμπρίων μιμούμενος λυμεῶνι σώματος θαλάσσαι· ἤδη θρασεῖα καὶ πάρος λάβρον αὐχέν' ἔσχες ἐμ πέδαι καταζευχθεῖσα λινοδέτωι τεόν· νῦν δέ ς' ἀναταράξει ἐμὸς ἄναξ ἐμὸς πεύκαισιν ὀριγόνοισιν, ἐγκλήισει δὲ πεδία πλόϊμα νομάσι ναύταις· οἰστρομανὲς παλεομίσημ' ἄπιστόν τ' ἀγκάλισμα κλυσιδρομάδος αὔρας.

15,col3 (60) φάτ' ἄσθματι στρευγόμενος, βλοσυρὰν δ' ἐξέβαλλεν ἄχναν ἐπανερευγόμενος στόματι βρύχιον ἅλμαν· φυγᾶι δὲ πάλιν ἵετο Πέρσης στρατὸς βάρβαρος ἐπισπέρχων· ἄλλα δ' ἄλλαν θραῦεν σύρτις μακραυχενόπλους, χειρῶν δ' ἔγβαλλον ὀρείους πόδας ναός, στόματος δ' ἐξήλλοντο μαρμαροφεγγεῖς παῖδες συγκρουόμενοι· κατάστερος δὲ πόντος ἐγ λιποπνόης ... [ . ]στερέσιν ἐγάργαιρε σώμασιν, ἐβρίθοντο δ' ἀϊόνες. ο[ἱ] δ' ἐπ' ἀκταῖς ἐνάλοις ἥμενοι γυμνοπαγεῖς ἀυτᾶι τε καὶ δακρυσταγεῖ [γ]όωι στερνοκτύπωι γοηταὶ θρηνώδει κατείχοντ' ὀδυρμῶι· ἅμα δὲ [γᾶν] πατρίαν ἐπανεκα[λ]έοντ'· ἰὼ Μύσιαι δενδροέθειραι πτυχαί, [ῥύσ]ασθέ μ' ἐνθέν[δ]ε· νῦν ἀήταις φερόμεθ', οὐ γὰρ ἔτι ποτ' ἀμὸν [σῶ]μα δέξεται [πόλ]ις κ[ .

15,col3 (100) ] . εγ γὰρ χερὶ πα[ . ]ε[ . ]νυμφαιογονον [ ... ] . ον αντρον ο[ ... ] . [ ... ]διαστακαπε[ ..... ] . ονειτεο βαθυ[τ]ερον ποντοιο τ[ ... ]α απεχε μαχιμο[ .. ] . [ .. ] πλοιμον Ελλαν ευ[ ... ]η στέγην ἔδειμε [τ]ῆλ[ε] τελεόπορον ἐμὸς [δ]εσπότης· οὐ γὰρ ἂ[ν Τμῶ]λον οὐδ' ἄστυ Λύδιον [λι]πὼν Σαρδέων ἦλθον ["Ἕ]λλαν' ἀπέρξων Ἄρ[η· νῦν] δὲ πᾶι τις δυσέκφευκ[τ]ον εὕρηι γλυκεῖαν μόρου καταφυγήν; Ἰλιοπόρος κακῶν λυαία μόνα γένοιτ' ἄν, εἰ δυναστα πρὸς μελαμπεταλοχίτωνα Ματρὸς οὐρείας δεσπόσυνα γόνατα πεσεῖν εὐωλένους τε χεῖρας ἀμφιβάλλων λίσσων χρυσοπλόκαμε θεὰ Μᾶτερ ἱκνοῦμαι ἐμὸν ἐμὸν αἰῶνα δυσέκφευκτον, ἐπεί μ' αὐτίκα λαιμοτόμωι τις ἀποίσεται ἐνθάδε μήστορι σιδάρωι, ἢ κατακυμοτακεῖς ναυσιφθόροι αὖραι νυκτιπαγεῖ βορέαι διαραίσονται· περὶ γὰρ κλύδων ἄγριος ἀνέρρηξεν ἅπαγ γυίων εἶδος ὑφαντόν· ἔνθα κείσομαι οἰκτρὸς ὀρνίθων ἔθνεσιν ὠμοβρῶσι θοινά.

15,col4 (120) τοιάδ' ὀδυρόμενοι κατεδάκρυον· ἐπεὶ δέ τις λαβὼν ἄγοι πολυβότων Κελαινᾶν οἰκήτορ' ὀρφανὸν μαχᾶν σιδαρόκωπος Ἕλλαν, ἄγει κόμης ἐπισπάσας, ὁ δ' ἀμφὶ γόνασι περιπλεκεὶς ἐλίσσετ', 'Ελλάδ' ἐμπλέκων Ἀσιάδι φωνᾶι διάτορον σφραγῖδα θραύων στόματος, Ἰάονα γλῶσσαν ἐξιχνεύων· ἔπω μοί σοι κῶς καὶ τί πρᾶγμα; αὖτις οὐδάμ' ἔλθω· καὶ νῦν ἐμὸς δεσπότης δεῦρό μ' ἐνθάδ' ἤξει· τὰ λοιπὰ δ' οὐκέτι, πάτερ, οὐκέτι μαχές' αὖτις ἐνθάδ' ἔρχω, ἀλλὰ κάθω· ἐγώ σοι μὲν δεῦρ' ἐγὼ κεῖσε παρὰ Σάρδι, παρὰ Σοῦσα, Ἀγβάτανα ναίων· Ἄρτιμις ἐμὸς μέγας θεὸς παρ' Ἔφεσον φυλάξει.

15,col4 (150) οἱ δ' ἐπεὶ παλίμπορον φυγὴν ἔθεντο ταχύπορον, αὐτίκα μὲν ἀμφιστόμους ἄκοντας ἐκ χερῶν ἔριπτον, δρύπτετο δὲ πρόσωπ' ὄνυξι· Περσίδα στολὴν περὶ στέρνοις ἔρεικον εὐυφῆ, σύντονος δ' ἁρμόζετ' Ἀσιὰς οἰμωγὰ πολυστόνωι, κτυπεῖ δὲ πᾶσα Βασιλέως πανήγυρις φόβωι τὸ μέλλον εἰσορώμενοι πάθος· ὁ δὲ παλινπόρευτον ὡς ἐσεῖδε Βασιλεὺς εἰς φυγὴν ὁρμῶντα παμμιγῆ στρατόν, γονυπετὴς αἴκιζε σῶμα, φάτο δὲ κυμαίνων τύχαισιν· ἰὼ κατασκαφαὶ δόμων σείριαί τε νᾶες Ἑλλανίδες, αἳ κατὰ μὲν ἥλικ' ὠλέσαθ' ἥβαν νεῶν πολύανδρον· νᾶες δ' οὐκ ὀπισσοπόρευτον ἄξουσιμ, πυρὸς δ' αἰθαλόεμ μένος ἀγρίωι σώματι φλέξει, στονόεντα δ' ἄλγη ἔσται Περσίδι χώραι· ἰὼ βαρεῖα συμφορά, ἅ μ' ἐς Ἑλλάδ' ἤγαγες· ἀλλ' ἴτε, μηκέτι μέλλετε,

ζεύγνυτε μὲν τετράορον ἵππων ὄχημ’, οἱ δ’ ἀνάριθμον ὄλβον φορεῖτ’ ἐπ’ ἀπήνας· πίμπρατε δὲ σκηνάς, μηδέ τις ἡμετέρου γένοιτ’ ὄνησις αὐτοῖσι πλούτου.

15,col5 (174) οἱ δὲ τροπαῖα στησάμενοι Διὸς ἁγνότατον τέμενος, Παιᾶν’ ἔσται Περσίδι χώραι· ἄνακτα, σύμμετροι δ’ ἐπεκτύπεον ποδῶν ὑψικρότοις χορείαις.

15,col5 (20[illegible]) ἀλλ’ ὦ χρυσεοκίθαριν ἀέξων μοῦσαν νεοτευχῆ, ἐμοῖς ἔλθ’ ἐπίκουρος ὕμνοις ἰήιε Παιάν· ὁ γάρ μ’ εὐγενέτας μακραίων Σπάρτας μέγας ἁγεμὼν βρύων ἄνθεσιν ἥβας δονεῖ λαὸς ἐπιφλέγων ἐλᾶι τ’ αἴθοπι μώμωι, ὅτι παλαιοτέραν νέοις ὕμνοις μοῦσαν ἀτιμῶ· ἐγὼ δ’ οὔτε νέον τιν’ οὔτε γεραὸν οὔτ’ ἰσήβαν εἴργω τῶνδ’ ἑκὰς ὕμνων· τοὺς δὲ μουσοπαλαιολύμας, τούτους δ’ ἀπερύκω, λωβητῆρας ἀοιδᾶν, κηρύκων λιγυμακροφώνων τείνοντας ἰυγάς. πρῶτος ποικιλόμουσος Ὀρφεὺς 〈χέλ〉 υν ἐτέκνωσεν υἱὸς Καλλιόπα〈ς – –〉 Πιερίαθεν· Τέρπανδρος δ’ ἐπὶ τῶι δέκα ζεῦξε μοῦσαν ἐν ᾠιδαῖς· Λέσβος δ’ Αἰολία ν〈ιν〉 Ἀντίσσαι γείνατο κλεινόν· νῦν δὲ Τιμόθεος μέτροις ῥυθμοῖς τ’ ἑνδεκακρουμάτοις κίθαριν ἐξανατέλλει, θησαυρὸν πολύυμνον οἴξας Μουσᾶν θαλαμευτόν· Μίλητος δὲ πόλις νιν ἁ θρέψασ’ ἁ δυωδεκατειχέος λαοῦ πρωτέος ἐξ Ἀχαιῶν.

15,col6 (235) ἀλλ’ ἑκαταβόλε Πύθι’ ἁγνὰν ἔλθοις τάνδε πόλιν σὺν ὄλβωι, πέμπων ἀπήμονι λαῶι τῶιδ’ εἰρήναν θάλλουσαν εὐνομίαι. διὰ σὲ καὶ τεὰ δῶρα ειτα Σκύλλα οὐκ ἀείδω τὰ παλαιά, καινὰ γὰρ ἀμὰ κρείσσω· νέος ὁ Ζεὺς βασιλεύει, τὸ πάλαι δ’ ἦν Κρόνος ἄρχων· ἀπίτω Μοῦσα παλαιά.

21 εἶτ’ ἤδη δὸς φιάλην ⟦ τὸ ὅπλον ⟧ Ἄρεως κατὰ Τιμόθεον ξυστόν τε βέλος. ἀρτίως διηρτάμηκε καὶ τὰ μὲν διανεκῆ σώματος μέρη δαμάζετ’ ἐν πυρικτίτωι στέγαι· Τιμόθεος ἔφη ποτ’, ἄνδρες, τὴν χύτραν οἶμαι λέγων.

23 τεταμένον ὀρίγανα διὰ μυελοτρεφῆ. σύ τ’ ὦ τὸν ἀεὶ πόλον οὐράνιον λαμπραῖς ἀκτῖς’ Ἥλιε βάλλων, πέμψον ἑκαβόλον ἐχθροῖσ〈ι〉 βέλος σᾶς ἀπὸ νευρᾶς, ὦ ἴε Παιάν.

25 σὺ δὲ τὸν γηγενέταν ἄργυρον αἰνεῖς· μακάριος ἦσθα, Τιμόθε’, ὅτε κᾶρυξ εἶπε· νικᾶι Τιμόθεος Μιλήσιος τὸν Κάμωνος τὸν ἰωνοκάμπταν, διὰ κυάνεον πόλον ἄστρων διά τ’ ὠκυτόκοιο σελάνας.

28 ὅτ’ αὔξεται ἡλίου αὐγαῖς

Eulogikon public reading copy · View original HTML at eulogikon.org